*impatiens laesionis corporis, cui firme et proportionaliter iuncta est.)* B 67 a

. . . ἄκεα (προσεῖπεν ὡς ἐξακεσόμενα τὰ δεινὰ καὶ τὰς ψυχὰς ἐξάντεις ἀπεργαζόμενα τῶν ἐν τῇ γενέσει συμφορῶν). B 68

(. . . τὰ μὲν τῶν ἀποκεκαθαρμένων παντάπασιν ἀνθρώπων, οἷα ἐφ' ἑνὸς ἄν ποτε γένοιτο σπανίως.) B 69

Παῖδες τὰ ἀθύρματα ἄνδρες γενόμενοι ἀπέρριψαν. B 70

. . . τοῦ ἐπιλανθανομένου ᾗ ἡ ὁδὸς ἄγει. B 71

Ὧι μάλιστα διηνεκῶς ὁμιλοῦσι λόγῳ τούτῳ διαφέρονται, καὶ οἷς καθ' ἡμέρην ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται. B 72

Οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν. καὶ γὰρ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν. B 73

Οὐ δεῖ ὡς παῖδας τοκεώνων . . . B 74

Τοὺς καθεύδοντας ἐργάτας εἶναι καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γινομένων. B 75



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416244610/17 UNIVERSITÄT LEIPZIG